τὰ τοῦ γάμου πράττειν, φράσας τὸ πρᾶγμ' ἁπλῶς
τοῖς ἔνδον ἐκέλευσ' εὐτρεπίζειν πάνθ' ἃ δεῖ,
καθαρὰ ποεῖν, πέττειν, ἐνάρχεσθαι κανοῦν.
'Εγίνετ' ἀμέλει πάνθ' ἑτοίμως, τὸ δὲ τάχος
τῶν πραττομένων ταραχήν τιν' αὐτοῖς ἐνεποίει,
ὅπερ εἰκός. 'Επὶ κλίνης μὲν ἔρριπτ' ἐκποδὼν
τὸ παιδίον κεκραγός· αἳ δ' ἐβόων ἅμα·
« Ἄλευρ', ὕδωρ, ἔλαιον ἀπόδος, ἄνθρακας ».
Καὐτὸς διδοὺς τούτων τι καὶ συλλαμβάνων
εἰ[ς τ]ὸ ταμιεῖον ἔτυχον εἰσελθών, ὅθεν
πλείω προαιρῶν καὶ σκοπούμενος [◡ –
οὐκ εὐθὺς ἐξῆλθον. Καθ' ὃν δ' ἦν χρόνον ἐγὼ
ἐνταῦθα, κατέβαιν' ἀφ' ὑπερῴου τις γυνὴ
ἄνωθεν εἰς τοὔμπροσθε τοῦ ταμιειδίου
οἴκημα· τυγχάνει γὰρ ἱστεὼν τις ὤν,
ὥσθ' ἥ τ' ἀνάβασίς ἐστι διὰ τούτου τό τε
ταμιεῖον ἡμῖν. Τοῦ δὲ Μοσχίωνος ἦν
τίτθη τις αὕτη, πρεσβυτέρα, γεγονυῖ' ἐμὴ
θεράπαιν', ἐλευθέρα δὲ νῦν. 'Ιδοῦσα δὲ
τὸ παιδίον κεκραγὸς ἠμελημένον
ἐμέ τ' οὐδὲν εἰδυῖ' ἔνδον ὄντ', ἐν ἀσφαλεῖ